# TEZAUR LITURGIC

**9 MAI**

**HARALAMBOS BOUSIA**

# PARACLISUL
# SF.CUVIOS-MUCENIC
# NICOLAE
# DE LA VUNENA

**ATENA,2015**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παράκλησις Ὁσιομάρτυρος ΝΙΚΟΛΑΟΥ τοῦ ἐν Βουνένοις

## Ποίημα Δρ. Χαραλάμπους Μπούσια

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ’ (142) Ψαλμός καί τὸ Θεὸς Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τὸν γενναιότατον Κυρίου ὁπλίτην, καὶ ἀσκητὴν θεοειδῆ εὐσχημόνως, ὡς ἰατρὸν πανάριστον τῶν νόσων φαιδρῶς, μέλψωμεν κραυγάζοντες τῶν Βουνένων λαμπρότης, λύτρωσαι πρεσβείαις σου ἐνεστώσης ἀνάγκης, καὶ δυσφορήτου ἄχθους τοὺς ἀεί, σὲ μελῳδοῦντας εὐσχήμων Νικόλαε.

Δόξα. Τό Ἀπολυτίκιον.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε...

Ὁ Ν΄ Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *ΝΙΚΟΛΑΟΥ ΝΕΟΥ ΤΗΝ ΑΡΩΓΗΝ ΑΙΤΟΥΜΑΙ. Χ. Μ. Μ.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Νικόλαε αὖχος ἐμῆς ψυχῆς, Βουνένων φαιδρότης, καὶ Μαρτύρων ὑπογραμμέ, παράσχου ὑγείαν κατ’ ἄμφω, ταῖς σαῖς πρεσβείαις ἡμῖν τοῖς ἱκέταις σου.

Ἰλύος ἀπόπλυνων χαμερπῶν, παθῶν με γενναῖε, στρατηλάτα τοῦ Λυτρωτοῦ, Νικόλαε νάμασιν εὐχῶν σου, καὶ τῆς ψυχῆς τὸν χιτῶνά μου λεύκανον.

Κοσμήσας αἱμάτων σου ὀχετοῖς, Βουνένων τὴν χθόνα, κόσμος δέδειξαι ἀθλητῶν, Νικόλαε καὶ τῶν εὐσεβούντων, πρὸς οὐρανοὺς ποδηγέτης γεγένησαι.

Θεοτοκίον.

Ὁδήγησον πάντας Χριστιανούς, λιταῖς Νικολάου, πρὸς λειμῶνας ἀειθαλεῖς, ἀλύπου ζωῆς Θεογεννῆτορ, οἰακοτρόφε ψυχῆς τῶν ὑμνούντων Σε.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Λυπηρῶν τρικυμίας, καὶ τῶν παθῶν κλύδωνας, κόπασον ἡμῶν σαῖς πρεσβείαις, νέε Νικόλαε, ὁ τῶν Βουνένων δρυμούς, καθαγιάσας ἱδρῶσιν, εὐκλεοῦς ἀσκήσεως, καὶ ῥείθροις αἵματος.

Ἀριστέων σταδίου, περιφανὲς πρώταθλε, καὶ φρουρᾶς Λαρίσης ἡγῆτορ, μάκαρ Νικόλαε, τῶν ἀρετῶν εὐσθενῶς, τοὺς ὑμνητάς σου ἀνῦσαι, στάδιον ἀξίωσον, ἄγαν τὸ δύσβατον.

Ὁσιόαθλε Μάρτυς, ὁ ἐν δρυῒ ἄσμενος, προσδεθεὶς καὶ λόγχης ἰδίας, πεῖραν γευσάμενος, μὴ διαλίπῃς Χριστῷ, πρεσβεύειν πάθη συντρίβειν, τῆς σαρκὸς χαμαίζηλα, πάντων Νικόλαε.

Θεοτοκίον.

Ὑπερένδοξε Μῆτερ, τῶν ἀθλητῶν καύχημα, καὶ τῶν ἀσκητῶν ὡραιότης, Ὁσιομάρτυρος, τοῦ Νικολάου

εὐχαῖς, ἐκ τοῦ βυθοῦ ἀπωλείας, ζοφερᾶς ἀνάγαγε, τοὺς εὐφημοῦντάς Σε.

Ἀνάδειξον, Ὁσιομάρτυς Νικόλαε τροπαιοῦχε, ἐν τῷ σκάμματι νικητὰς τοῦ βίου σοὺς πρόσφυγας, ὁ πίστει νικήσας τὸν παλαιμναῖον.

Ἐπίβλεψον...

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Νοσημάτων ἀπάλλαξον, ἀλγεινῶν Νικόλαε τοὺς τιμῶντάς σε, ὡς Λαρίσης ἀρχιστράτηγον, καὶ Βουνένων σέμνωμα περίδοξον.

Ἐξωτέρου Νικόλαε, σκότους καὶ κολάσεως ῥῦσαι ἅπαντας, τοὺς προστρέχοντας σῇ χάριτι, τίμιον ἀνδρείας στηλογράφημα.

Οὐρανίου φρονήματος, πλῆσον τοὺς γεραίροντας σοῦ τήν ἄθλησιν, στρατηλάτα θεοστήρικτε, τῶν Βουνένων κλέϊσμα Νικόλαε.

Θεοτοκίον.

Ὑψαυχοῦντος τὸ φρύαγμα, δράκοντος πατάξαι ἡμᾶς ἀξίωσον, ταπεινώσεως ἀρχέτυπον, καὶ Ὑψίστου θρόνε χρυσοστόλιστε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Τείχισον ἡμᾶς, τῇ ἀόκνῳ προστασίᾳ σου, ἵνα πάντοτε φρουρούμενοι στεῤῥέ, ὑπὸ σοῦ εἰς ὅρμον θεῖον κατακτήσωμεν.

Ἤσχυνας ἑσμόν, τῶν Ἀράβων τῇ ἀνδρείᾳ σου, καὶ Βελίαρ τῇ σεμνῇ σου ἀρωγῇ, εὐσεβῶν ἀκέστορ ἔνθεε Νικόλαε.

Νίκας τῷ λαῷ, τοῦ Θεοῦ δωροῦ πρεσβείαις σου, καὶ συντήρει ἀπειράστους τῆς ἐχθρῶν, πανουργίας τοὺς ἱκέτας σου Νικόλαε.

Θεοτοκίον.

Ἄχραντε ὁδούς, μετανοίας δεῖξον ἅπασι· Σὺ γὰρ πέλεις ποδηγὸς πρὸς τὸν Χριστόν, καὶ Υἱόν Σου τῶν ὑμνούντων Σε Παντάνασσα.

ᾨδὴ στ΄. Τὴν δέησιν.

Ῥανίδας μου, τῶν δακρύων σπόγγισον, μανδηλίῳ τῶν θερμῶν πρεσβειῶν σου, πρὸς τὸν Χριστὸν ὑπὲρ Οὗ καὶ προθύμως, ἐν τοῖς Βουνένοις σὸν αἷμα ἐξέχεας, καὶ τῆς ἀλήκτου χαρμονῆς, τὸν ἱκέτην σου ποίησον μέτοχον.

Ὡς ἔλαφοι, αἱ διψῶσαι τρέχουσιν, ἐφ’ ὑδάτων τὰς πηγὰς οὕτω πάντες, πρὸς τὸν ναόν σου Νικόλαε νέε, τῶν εὐσεβούντων νῦν σπεύδομεν σύλλογοι, ὡς ἄν ἀφθόνως ψυχικῆς, εὐφορίας ἀντλήσωμεν νάματα.

Γαυρίαμα, ὅς ποτε ἠδάφισας, τοῦ ἀλάστορος Νικόλαε Μάρτυς, ἀνατεθεὶς ὁλικῶς τῷ Κυρίῳ, ἐν τοῖς Βουνένων δρυμοῖς οὕτω σκέδασον, καὶ τὰ κινούμενα αὐτοῦ, καθ’ ἡμῶν κραταιὲ βέλη πάντοτε.

Θεοτοκίον.

Ἡγίασε, τὴν ἁγνὴν γαστέρα Σου, οἰκητήριον αὐτὴν ὁ ποιήσας, φωτολαμπὲς τοῦ Θεοῦ θεῖος Λόγος, ὁ διὰ

Σοῦ εἰληφὼς σάρκα βρότειον, καὶ γένος ἅπαν χοϊκόν, Θεοτόκε θεώσας Πανύμνητε.

Ἀνάδειξον, Ὁσιομάρτυς Νικόλαε τροπαιοῦχε, ἐν τῷ σκάμματι νικητὰς τοῦ βίου σοὺς πρόσφυγας, ὁ πίστει νικήσας τὸν παλαιμναῖον.

Ἄχραντε...

Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Ἐκ τῆς Ἑῴας ὁρμώμενος ἤθλησας, ἐν τοῖς Βουνένοις Νικόλαε ἄριστε, καὶ χάριν θαυμάτων ἀπείληφας, ὡς ἀθλητὴς ὑψηλόφρων καὶ Ὅσιος. Διὸ σὲ ἀπαύστως γεραίρομεν.

Προκείμενον. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει...*

Στ. *Θαυμαστὸς ὁ Θεός...*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ι'.16-23).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ἰδοῦ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων. Παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς, καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ὅμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδώσουσιν ὑμᾶς μὴ μεριμνήσητε πῶς ἤ τί λαλήσητε. Δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τὶ

λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον. Καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου, ὁ δὲ ὑπομείνας εἰς τέλος σωθήσεται.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με ὁ Θεός…*

Ὡς ἀράχνην ἔλυσας, ἱστὸν ἐπίγειον δόξαν, τῆς Λαρίσης πρώταρχε, τῆς φρουρᾶς Νικόλαε, ἀκατάβλητε. Πέλων γὰρ πάντιμον, τοῦ Χριστοῦ ἤδυσμα, καὶ λευκάνθεμον πανεύοσμον, πιστοὺς κατηύφρανας, καὶ ἐχθρὸν τὸν πλάνον κατῄσχυνας, ἀόκνου ἐργαστήριον, προσευχῆς καὶ τόλμης γενόμενος· ὅθεν ἐν Βουνένων, τοῖς ἄλσεσιν ἀθλήσας ἀνδρικῶς, ὑπὲρ ἡμῶν χάριν εἴληφας, μεσιτεύειν πάντοτε.

ᾨδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νικηφόρους ἀγῶνας, κατ' Ἀράβων τελέσας, στεῤῥὲ Νικόλαε, ἐν ὄρει τοῦ Τυρνάβου, σὺν δήμῳ σῶν συνάθλων, στέφος δόξης ἀπείληφας, καὶ χάριν εὗρες ἀεί, ὑπὲρ ἡμῶν πρεσβεύειν.

Ἀθλητῶν δωδεκάδος, παναλκίμου προΐστωρ, θεόφρον πέφηνας, μεθ’ ὧν νῦν συναγάλλῃ, Νικόλαε ἐν πόλῳ, καὶ πρεσβεύεις ἀείποτε, ὑπὲρ ἡμῶν τῶν πιστῶς, τιμώντων σου τὴν μνήμην.

Ἱερεῖον ὡς θεῖον, προσηνέχθης Κυρίῳ, καὶ θῦμα τέλειον, Νικόλαε ἀθλήσας, ἐν δάσει τῶν Βουνένων, ἀπτοήτῳ φρονήματι, δι’ οὗ πληροῖς καὶ ψυχάς, ἡμῶν ἐν μάχαις βίου.

Θεοτοκίον.

Τῆς ζωῆς μου τὸν χρόνον, δαπανήσας ὁ τάλας, ἀνόμοις πταίσμασι, βοῶ Σοι Θεοτόκε, ἐξ ἔργων μου βορβόρου, ἔγειρόν με καὶ σῶσόν με, ἵνα ὑμνῶ Σε ἀεί, Ὑπερευλογημένη.

Ὠδὴ η΄. Τὸν βασιλέα.

Ὀδμὰς ἐκπνέει, ἡ τῶν λειψάνων σου θήκη, μυροβόλους Νικόλαε νέε, ἀντιλῆπτορ θεῖε, τῶν σὲ ὑμνολογούντων.

Ὑπὸ τὴν σκέπην, τῶν σωστικῶν πρεσβειῶν σου, καταφεύγοντες σὲ μελῳδοῦμεν, στρατηλάτα σῶφρον, Νικόλαε Κυρίου.

Μὴ μοῦ παρίδῃς, τοῦς ἐν βίῳ ἱδρῶτας, καὶ τὸν κόπον ὅν νῦν καταβάλλω, φυλακὴν τηρῆσαι, Νικόλαε θυρίδων.

Θεοτοκίον.

Ἁγνὴ Παρθένε, γενοῦ θερμὴ βοηθός μου, ἐν ἐσχάτῃ τῆς Κρίσεως ὥρᾳ, ἵνα καταδίκης, κολάσεως ἐκφύγω.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰάσεων ὀμβρίζεις, νάματα ὁ λέπραν, Θεσσαλονίκης δουκὸς τὴν ἀνίατον, ὑπερφυῶς θεραπεύσας κλεινὲ Νικόλαε.

Χαρίτων μυροθήκη, θείων οὐρανόθεν, τοῖς σὲ τιμῶσι Νικόλαε στάλαξον, πταισμάτων λύσεως δρόσον καὶ ἀπολύτρωσιν.

Μαρτύρων θεῖε κόσμε, καὶ Ὁσίων στέμμα, τοὺς σὲ προστάτην ἀνύστακτον ἔχοντας, ἐκ συμφορῶν καὶ παγίδων τοῦ πλάνου λύτρωσαι.

Θεοτοκίον.

Μαρία ἐκτακεῖσαν, τὴν ψυχὴν Σοῦ δούλου, ἀνομημάτων φλογμῷ καταδρόσισον, ψεκάσι θείου ἐλέους τοῦ Σοῦ καὶ σῶσόν με.

Μεγαλυνάρια.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Χαίροις Ἐκκλησίας νεολαμπές, πύρσευμα φωτίζων, θαυμασίων σου ταῖς βολαῖς, τῆς Ἑλλάδος χώραν, Νικόλαε Βουνένων, ὡράϊσμα καὶ κλέος, περικαλλέστατον.

Ἤθλησας Νικόλαε κραταιέ, βλάστημα Ἑῴας, μυροβόλον πανευσθενῶς, ἐν δρυμοῖς Βουνένων, καὶ ηὔφρανας τοὺς δήμους, τῶν εὐσεβῶν τοῖς ὕμνοις, νῦν εὐφημούντων σε.

Χαίροις στρατηλάτα τοῦ Ἰησοῦ, σὺν τῇ δωδεκάδι, τῶν ἀνδρείων σου ὁπλιτῶν, χαίροις ὁ Λαρίσης, Τυρνάβου καὶ Βουνένων, τὴν χθόνα ἁγιάσας, ἄθλοις Νικόλαε.

Χαίροις τῆς Ἑῴας σεπτὸς βλαστός, Ὁσιομαρτύρων, στῦλος ὄντως φωτοειδής, χαίροις τῶν Βουνένων, ὁ θεῖος μαργαρίτης, καὶ φύλαξ εὐσεβούντων, πανιερώτατος.

Νίκας εὐσεβέσι κατὰ παθῶν, δίδου ταῖς λιταῖς σου, καὶ διέγειρον τὰς ψυχάς, πρὸς Κυρίου αἶνον, ἡμῶν σημειοφόρε, Νικόλαε Βουνένων, ἔμψυχον ἄγαλμα.

Πόθῳ ἑορτάσωμεν ἀδελφοί, τὴν φωσφόρον μνήμην, Νικολάου τοῦ θαυμαστοῦ, στέφοντες ἐκθύμως, τοῦ ἔαρος τοῖς ῥόδοις, αὐτὸν ὡς ἄν τῆς θείας, τύχωμεν χάριτος.

Πᾶσαι τῶν Ἀγγέλων...

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἀκεσώδυνον φρέαρ, τοῖς τιμῶσί σε δέδοσαι, πᾶσιν ἀποστάζον εἰρήνης, καὶ ἰάσεων νάματα, ὁπλῖτα ἐν Ἑῴας εὐσθενές, Νικόλαε Βουνένων θησαυρέ, Ἀθλοφόρων καὶ Ὁσίων, περιφανὲς κοσμῆτορ, ὅθεν κράζομεν· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ

θαυμαστώσαντι, δόξα τῷ ἀνύστακτον φρουρόν, ἡμῖν δωρήσαντι.

Ἀπόλυσις, μεθ’ ἥν ψάλλομεν τὰ ἑξῆς. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντων, τῶν ἐν ὕμνοις μελιχροῖς, τὴν ἀξιοθαύμαστον μνήμην, ἐπιτελούντων σου, πλήρου τὰ αἰτήματα, σοφὲ Νικόλαε, καὶ Χριστὸν καθικέτευε, ὑπὲρ τῶν ἐκθύμως, ὡς στεῤῥὸν τῆς πίστεως, τιμώντων Μάρτυρα, σὲ καὶ ἀσκητὴν θεοφόρον, τὸν ἐν Βουνένοις στεφάνους, νίκης αἰωνίου κομισάμενον.

Δέσποινα πρόσδεξαι...
Τὴν πᾶσαν ἐλπίδα μου...

